| SOCRATE | PLATON – *LE BANQUET* (215 A-D) – VERS 380 AVANT JC |
|---|---|

Σωκράτη δ’ ἐγὼ ἐπαινεῖν, ὦ ἄνδρες, οὕτως[1] ἐπιχειρήσω, δι’ εἰκόνων. Οὗτος μὲν οὖν ἴσως οἰήσεται ἐπὶ τὰ γελοιότερα, ἔσται δ’ ἡ εἰκὼν τοῦ ἀληθοῦς ἕνεκα, οὐ τοῦ γελοίου. Φημὶ γὰρ δὴ ὁμοιότατον αὐτὸν εἶναι τοῖς σειληνοῖς τούτοις τοῖς ἐν τοῖς ἑρμογλυφείοις καθημένοις, οὕστινας ἐργάζονται οἱ δημιουργοὶ σύριγγας ἢ αὐλοὺς ἔχοντας, οἳ διχάδε διοιχθέντες[2] φαίνονται ἔνδοθεν ἀγάλματα ἔχοντες θεῶν. Καὶ φημὶ αὖ ἐοικέναι αὐτὸν τῷ σατύρῳ τῷ Μαρσύᾳ. Ὅτι μὲν οὖν τό γε εἶδος[3] ὅμοιος εἶ τούτοις, ὦ Σώκρατες, οὐδ’ ἂν αὐτὸς δή που ἀμφισβητήσαις[4]· ὡς δὲ καὶ τἆλλα ἔοικας, μετὰ τοῦτο ἄκουε. Ὑβριστὴς εἶ· ἢ οὔ ; ἐὰν γὰρ μὴ ὁμολογῇς[5], μάρτυρας παρέξομαι. Ἀλλ’ οὐκ αὐλητής ; πολύ γε θαυμασιώτερος ἐκείνου [...] Σὺ δ’ ἐκείνου τοσοῦτον μόνον διαφέρεις, ὅτι ἄνευ ὀργάνων ψιλοῖς λόγοις ταὐτὸν τοῦτο ποιεῖς. Ἡμεῖς γοῦν ὅταν μέν του ἄλλου ἀκούωμεν[6] λέγοντος καὶ πάνυ ἀγαθοῦ ῥήτορος ἄλλους λόγους, οὐδὲν μέλει ὡς ἔπος εἰπεῖν οὐδενί· ἐπειδὰν δὲ σοῦ τις ἀκούῃ[6] ἢ τῶν σῶν λόγων ἄλλου λέγοντος, κἂν πάνυ φαῦλος ᾖ[5] ὁ λέγων, ἐάν τε γυνὴ ἀκούῃ[5] ἐάν τε ἀνὴρ ἐάν τε μειράκιον, ἐκπεπληγμένοι ἐσμὲν καὶ κατεχόμεθα.

1 *Comme ceci* - Οὕτως annonce δι' εἰκόνων.
2 διοιχθέντες – participe aoriste passif de διοίγνυμι, j'ouvre.
3 Accusatif de relation : *pour ce qui est de l'apparence, en ce qui concerne l'apparence.*
4 Optatif aoriste actif. Avec la particule ἄν, exprime une affirmation atténuée : *tu ne saurais le contester.*
5 Subjonctif présent. Avec la conjonction εἰ + ἄν = ἐάν, exprime l'éventuel.
6 Subjonctif présent. Avec la conjonction ὅτε + ἄν = ὅταν, ou avec ἐπειδάν, exprime la répétition dans le présent.